# Σηστός

Ζ. ΚΑ. 2. Δατάμης, πολεμῶν Σινωπεῦσι, καὶ ναυτι-
κὸν ἔχων, οὔτε ναυπηγῶν ἢ τεκτόνων εὐπορούμενος,
φιλίαν συνθέμενος πρὸς αὐτούς, ἐπηγγείλατο Ση-
στὸν αὐτοῖς συμπολιορκήσας παραδώσειν, ἣν μάλιστα
πολεμιωτάτην ἡγεῖτο. Ἐπείσθησαν οἱ Σινωπεῖς, καὶ πα-
ρεκάλεσαν, ὧν ἂν ἐς τὸν πόλεμον δέοιτο παρ' αὐτῶν
λαμβάνειν. Ὁ δὲ ἄλλου μὲν οὐδενὸς ἔφη δεῖσθαι, ὡς πλεί-
στην χορηγίαν ἔχων, καὶ χρημάτων καὶ σωμάτων. τεχν.
δὲ τὰ μηχανήματα, κριοὺς καὶ χελώνας κατασκευά-
ζοντας οὐκ ἔχειν, ἃ δὴ μάλιστα χρήσιμα τοῖς πολιορκοῦ-
σιν. Οἱ Σινωπεῖς πάντας τοὺς ἐν τῇ πόλει τεχνίτας καὶ
ἀρχιτέκτονας ἔπεμψαν αὐτῷ. Ὁ δέ, ταῖς τέχναις αὐ-
τῶν χρησάμενος, ναῦς πολλὰς καὶ μηχανήματα
κατασκευάσας, ἀντὶ Σηστοῦ τὴν Σινώπην ἐπολιόρ-
κησεν.

Πολυαίνου Στρατηγ. εκδ. Κοραη σ 231

# Σηπος

Ζ. ΚΑ. 2. Δατάμης, πολεμῶν Σινωπεῦσι, ναυτι-
κον έχουσι, αυτος ναυπηγων η τεχνιτων απορουμενος,
φιλίαν συνθέμενος προς αυτους, επηγγειλατο Σι-
νωπην αυτοις συμπολεμησας παραδωσειν, ην μαλιστα
πολεμικωτάτην ηγειτο. Επίστευσαν οι Σινωπεις, η πα-
ρεκάλεσαν, ων αν ες τον πόλεμον δέοιτο, παρ' αυτων
λαμβάνειν. ο δε άλλου μεν ουδενος έφη δεισθαι, ως πολ-
λων χορηγίαν έχων, και χρηματων η σιτιων. τους
δε τα μηχανήματα, κριους, η χελώνας κατασκευά-
ζοντας ου έχειν, α δη μαλιστα χρήσιμα τοις πολιορκοῦ-
σιν. οι Σινωπεις πάντας τους εν τη πόλει τεχνίτας η
αρχιτέκτονας έπεμψαν αυτω. ο δε, ταις τέχναις αυ-
των χρησάμενος, ναυς πολλας και μηχανήματα
κατασκευάσας, αντι Σηπου την Σινώπην επολιόρ-
κησεν. ..

Πολυαίνου Στρατηγ. εκδ. Κοραη σ. 231

Πολύαινος:
(Μακεδών)
Στρατηγικά.

Βιβλίον Α'. 34

Κίμων ἀπὸ Σηστοῦ καὶ Βυζαντίου αἰχμάλωτα πολλὰ βαρβαρικὰ εἴδη καί, τῶν συμμάχων δεηθέντων, διανομεὺς ἐγένετο. Μοῖραν μίαν ἔταξε γυμνὰ τὰ σώματα, μοῖραν ἑτέραν ἀναξυρίδας, κάνδυς, στρεπτὰ, καὶ ὅσα τοιάδε. Οἱ σύμμαχοι αἱροῦνται τὸν κόσμον. Ἀθηναῖοι γυμνὰ τὰ σώματα. Γέλων ὦφλισκανε Κίμων ὡς τὴν μείω μοῖραν προέχομενος τοῖς συμμάχοις. Οὐκ ἐς μακρὰν τῶν αἰχμαλώτων οἱ συγγενεῖς ἀπὸ Λυδίας καὶ Φρυγίας καταβάντες μεγάλα λύτρα ὑπὲρ τῶν οἰκείων κατέβαλον. Τότε ἡ σοφία Κίμωνος ἐθαυμάζετο· Ἀθηναῖοι δὲ πολλῷ πλείω χρήματα λαβόντες, μάλα δὴ τῶν συμμάχων κατεκερτόμησαν. [ex Plut. vita Cimon. 9.

Βιβλίον Α'. 37.

Κλέων Ἀβυδηνοῖς Σηστὸν παρέδωκεν οὐ φανερᾷ μάχῃ ἀλλ' ἀφανεῖ τέχνῃ. Θεόδωρος φρουρῶν Σηστὸν, ἑταῖρος Κλέωνος, μοιχεύων γυναῖκα ἐν προαστείῳ, τὴν ὑδρορρόην διὰ τοῦ τείχους στενὴν φερομένην, ἕνα λίθον ἐξαιρῶν, διὰ νυκτὸς ἐξῄει καὶ εἰσιὼν τὸν λίθον ἐναρμόττων, καὶ τοῦτο λανθάνων τῷ Κλέωνι τὸ πραττόμενον ὑποδόχιον, ὡς παίγνιον. Ὁ δὲ τοῖς Ἀβυδηνοῖς τὸ ἀπόρρητον ἐξαγορεύσας, ἀσέληνον νύκτα παρατηρήσας, κατὰ τὴν ὑδρορρόην, τοῦ Θεοδώρου τὸν λίθον ἐξῃρηκότος καὶ περὶ τὴν μοιχείαν ἀσχολουμένου, τοὺς στρατιώτας ὑπεισήγαγεν, οἱ τοὺς φύλακας ἀνελόντες, τὰς πύλας ἔνδοθεν ἀνοίξαντες, πᾶσαν δεξάμενοι τὴν δύναμιν τῆς Σηστοῦ ῥᾳδίως ἐκράτησαν.

Βιβλίον Γ'. 7.

Λαχάρης, τῶν πολεμίων Σηστοῦ κρατησάντων, ὀλίγας μὲν ἡμέρας ἐν λάκκῳ διῆγε καταδεδυκώς, τροφὰς ὀλίγας ἔχων, ὅσον μὴ τελευτῆσαι· γυναικὸς δὲ ἐκφορὰν οἰκείου νεκροῦ ποιουμένης, ἐν γυναικείᾳ στολῇ ταῖς πενθούσαις ἀναμιγνυμένος, καλύπτραν ἔχων μέλαιναν ἐξῆλθεν ἔξω τείχους, καὶ νυκτὸς ἐπιγενομένης εἰς Λυσιμαχίαν διῆλθεν.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

2/ Σηστὸς

Βιβλίον Ζ΄. 21.

Δατάμης ἐπιβουλεύων Σινωπεῦσι ναυτικὸν ἔχουσι, αὐτὸς ναυπηγῶν καὶ τεχνιτῶν ἀπορούμενος φιλίαν συνθέμενος πρὸς αὐτοὺς ἐπηγγείλατο <u>Σηστὸν</u> αὐτοῖς ἐκπολιορκήσας παραδώσειν, <u>ἣν μάλιστα πολεμιωτάτην ἡγοῦντο</u>. Ἐπείσθησαν οἱ Σινωπεῖς καὶ παρεκάλεσαν, ὧν ἂν εἰς τὸν πόλεμον δέοιτο, παρ᾽ αὐτῶν λαμβάνειν. Ὁ δὲ ἄλλου μὲν οὐδενὸς ἔφη δεῖσθαι, ὅπλα μὲν γὰρ χορηγίαν ἔχειν καὶ χειρομάχον δύναμιν· τοὺς δὲ τὰ μηχανήματα, κριοὺς χελώνας, κατασκευάζοντας οὐκ ἔχειν, ἃ δὴ μάλιστα ὠφέλιμα τοῖς πολιορκοῦσιν. Οἱ Σινωπεῖς πάντας ἑαυτῶν τῇ πόλει τεχνίτας ϗ ἀρχιτέκτονας ἔπεμψαν αὐτῷ. Ὁ δὲ ταῖς χερσὶν αὐτῶν χρησάμενος, ναῦς πολλὰς ϗ μηχανήματα κατασκευάσας ἀντὶ Σηστοῦ τὴν Σινώπην ἐπολιόρκησεν.